6. (*De la marche et des stades des maladies.* Aph. I, 12; Ép. VI, 1, 2; IV, 20.) Dans le commencement des maladies, il faut examiner si elles arrivent tout d'abord à l'état; cela est manifeste par l'augment; l'augment l'est par les périodes, et c'est de là qu'apparaissent les crises; de même pour les redoublements dans les périodes, examiner s'ils avancent ou retardent, s'allongent ou se raccourcissent, gagnent ou perdent en intensité. Pour toutes les fièvres continues ou intermittentes, pour les plaies, pour les expectorations douloureuses (Coa. 379), pour les inflammations phlegmoneuses, pour tout ce qui apparaît subséquemment, et probablement pour les autres choses communes, ce qui avance raccourcit la durée, ce qui retarde l'allonge (Ép. IV, 56). Dans les périodes, voir les anticipations et les autres augments dont la maladie se dépouille (Ép. IV, 46; VI, 8, 14). En effet, dans les cas

μακρότερα· καὶ ἐν περιόδοισι τὸ [1] ἐπὶ πρωϊαίτερον, καὶ ἄλλης [2] ἐπιδόσιος ἀπαυδώσης τῆς νούσου· καὶ γὰρ τῶν παραχρῆμα ἀπολλυμένων, ταχύτεραι αἱ κρίσιες, ὅτι [3] ταχέες οἱ πόνοι, καὶ ξυνεχέες καὶ ἰσχυροί. Τὰ δὲ χρίνοντα ἐπὶ τὸ βέλτιον, μὴ αὐτίκα ἐπιφαινέσθω. Τὰ κρίσιμα μὴ κρίνοντα, [4] τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα. Τὰ προκρινόμενα, ἢν [5] ὅμως κριθῇ, ὑποστροφαί· [6] ἢν δὲ μὴ, ἀχρησίαι· γένοιτο δ' ἂν καὶ ὀλέθρια, τὰ μὴ σμικρά. Ὅσα κρίσιμα σημεῖα γινόμενα, τὰ αὐτὰ ταῦτα [7] γινόμενα δύσκριτα· [8] τὰ ἐναντία δὲ σημαίνοντα, κακὸν, οὐ μόνον ἢν παλινδρομέῃ, ἀλλὰ καὶ τῆς ἀρχαίης [9] φύσιος τὰ ἐναντία ῥέποντα, [10] ὥσπερ καὶ τῶν κακῶν [11] σημείων τὰ ἐπὶ τὰ ἐναντία [12] ῥέποντα. Θεωρεῖν δὲ οὕτω δεῖ· [13] [μεταβολαὶ] [14] χρωμάτων, [15] συμπτώσιες φλεβῶν, [16] ὄγκοι ὑποχονδρίων, [17] ἀναῤῥοπίαι, καταῤῥοπίαι· πολλὰ δὲ καὶ τῶν τοιούτων, οἷον ἀποφθειρουσέων οἱ τιτθοὶ προσισχναίνονται· [18] οὐδὲ γὰρ ἐναντίον οὐδὲ βῆχες χρόνιαι, ὅτι, ὄρχιος [19] οἰδήσαντος παύονται· ὄρχις οἰδήσας [20] ἀπὸ βηχέων, ὑπόμνημα κοινωνίης στηθέων, μαζῶν, γονῆς, φωνῆς.

7. Ἀποστάσιες ἢ διὰ φλεβῶν, [21] ἢ τόνων, ἢ δι' ὀστέων, ἢ νεύρων, ἢ δέρματος, ἢ [22] ἐκτροπέων ἑτέρων· χρησταὶ δὲ, αἱ κάτω τῆς [23] νούσου, οἷον κιρσοὶ, ὀσφύος βάρεα, ἐκ τῶν ἄνω· [24] ἄρισται δὲ μάλιστα,

[1] Ἐπιπρωϊαίτερον vulg. – ἐπιπρωίτερον CFGHIJ, Ald. – ἐπὶ τὸ πρωϊαίτερον Lind. – Schneider dans son Dict. dit que ἐπιπρωιαίτερον est un mot douteux. — [2] ἐπιδόσηος C. – ἀναπαυδώσης J, Ald. – νούσου CFHIJK, Lind. – On ne trouve pas dans les lexiques ἀναπαυδάω; sans cela je préférerais le sens négatif au sens positif, de la sorte : *et la maladie ne manquant pas de présenter les autres accroissements.* — [3] ταχέως C. — [4] τὰ om. D. — [5] ὅμως C. – ὡμῶς vulg. — [6] εἰ J. – δὲ om. Gal. – ἀκρισίαι vulg. – ἀκρησίαι me paraît demandé par le sens. — [7] ante γιν. addit μὴ vulg. – μὴ om. J. – μὴ me paraît devoir être supprimé. Autrement, la phrase sera la répétition de κρίσιμα μὴ κρίνοντα κτλ. — [8] V. pour ces *signes critiques contraires* la phrase (Ép. IV, 45) : οὐδὲν τῶν κρινόντων ἐναντίον. — [9] φύσηος C. — [10] ὥσπερ ...... ῥέποντα om. J. — [11] σημεῖον ἐπὶ τἀναντία ῥέποντα vulg. – σημεῖον τὸ ἐπὶ τὰ ἐναντία ῥέποντα HIK. – Phrase fort obscure, je pense qu'il faut lire σημείων, et prendre la leçon des trois Mss., mais en remplaçant τὸ par τὰ, afin d'avoir l'accord avec ῥέποντα. — [12] Post ῥ. addit ὥσπερ καὶ τῶν κακῶν σημεῖον ἐπὶ τἀναντία ῥέποντα I. — [13] [μεταβολαὶ] a été ajouté par moi d'après le passage correspondant de Ép. IV, où on lit χροιῶν μεταβολαί. — [14] χρωμάτων CH. – βρωμάτων vulg. – βρωμάτων n'a point de sens ici. — [15] συμπτώσεων vulg. – συμπτωσίων FHIK. – συμπτώσηων C. – συμπτωμάτων J. – συμπτωσέων Ald., Frob. – ξυμπτώσιων Lind. – Le nominatif m'a paru réclamé par le contexte. — [16] ὄγκοι

où la perte est rapide, les crises sont plus hâtives, parce que les souffrances arrivent vite, durent constamment et sont violentes. Les signes critiques en mieux ne doivent pas apparaître de bonne heure. Les phénomènes critiques, ne faisant pas crise, amènent les uns une terminaison funeste, les autres une solution difficile. Les phénomènes critiques, anticipant, si néanmoins il y a crise, annoncent la récidive ; sinon, une intempérie d'humeurs (Ép. IV, 28) ; il en résulte même des terminaisons funestes dans les cas où ces phénomènes ne sont pas petits. Les signes de crise qui surviennent, annoncent, revenant les mêmes, une solution difficile ; ceux qui sont contraires (*V. note* 8) sont fâcheux, non-seulement quand il y a répercussion, mais encore quand il y a mouvement opposé à la constitution naturelle du malade ; c'est encore un signe mauvais qu'il y ait mouvement vers les voies contraires (Ép. IV, 45). Il faut faire l'examen : des changements de coloration (Ép. IV, 46), de l'affaissement des veines, du gonflement des hypocondres, des mouvements en haut, des mouvements en bas. Il y a encore des phénomènes comme celui-ci : chez les femmes qui avortent le sein s'affaisse ; ce n'est pas une opposition, non plus, quand des toux chroniques se dissipent, le testicule venant à se tuméfier (Ép. IV, 61). Le gonflement du testicule à la suite des toux rappelle la communauté avec la poitrine, avec les mamelles, les parties génitales, la voix.

7. (*Des dépôts.*) Les dépôts se font ou par les veines, ou par les cordons (*nerfs*), ou par les os, ou par les parties fibreuses, ou par la peau, ou par d'autres voies. Les dépôts se faisant plus bas que la maladie sont avantageux (Ép. VI, 1,

CFGIJK, Ald., Frob., Merc. – ὄγκων vulg. — [17] ἀναρρόπιαι καταρρόπιαι (sic) C. – ἀναῤῥοπίων, καταῤῥοπίων vulg. – ἀναῤῥοπέων, καταῤῥοπέων Lind. — [18] αὐδὲν C. — [19] οἰδήσαντος CHI, Gal. – οἰδήσοντος vulg. – [20] ὑπὸ βηχωδέων C. — [21] ἢ τόνων CDFGHIJ (πόνων K), Ald., Frob., Merc., – ἢ τόνων om. vulg. — [22] ἐκ τροπέων Ald. — [23] νούσου CFGHIJK, Ald., Frob., Merc. – νόσου vulg. – ὀσφῦος FI. – βαρέα C. — [24] ἄρισται CDH, Gal., Lind. – ἄριστον K. – ἄριστα vulg.

[1]αἱ κάτω, καὶ αἱ κατωτάτω κοιλίης, καὶ προσωτάτω ἀπὸ τῆς νούσου, καὶ αἱ κατ᾽ ἔκρουν, οἷον αἷμα [2] ἐκ ῥινέων, πῦον ἐξ ὠτὸς, πτύαλον, οὖρον, κατ᾽ ἔκρουν. Οἷσι μὴ ταῦτα, ἀποστάσιες, οἷον ὀδόντες, ὀφθαλμοὶ, ῥὶς, ἱδρώς. Ἀτὰρ καὶ [3] τὰ ὑπὸ δέρμα ἀφιστάμενα ἐς τὸ ἔξω φύματα, οἷον ταγγαὶ, καὶ τὰ ἐκπυοῦντα, [4]οἷον ἕλκος, καὶ τὰ τοιαῦτα ἐξανθήματα, ἢ [5] λόποι, [6] ἢ μάδησις τριχῶν, ἀλφοὶ, λέπραι, ἢ τὰ τοιαῦτα ὅσα [7] ἀποστάσιες μέν εἰσιν ἀθρόως ῥέψασαι, καὶ μὴ ἡμιῤῥόπως, καὶ ὅσα ἄλλα εἴρηται· καὶ [8] ἣν μὴ ἀναξίως τῆς περιβολῆς τῆς νούσου, οἷον τῇ [9] Τημένεω ἀδελφιδῇ ἐκ νούσου ἰσχυρῆς ἐς δάκτυλον [10]ἀπεστήριξεν, οὐχ ἱκανὸν δέξασθαι τὴν νοῦσον, ἐπαλινδρόμησεν, [11] ἀπέθανεν. Ἀποστάσιες ἢ διὰ φλεβῶν, ἢ διὰ κοιλίης, ἢ διὰ νεύρων, ἢ διὰ δέρματος, ἢ κατὰ [12] ὀστέα, ἢ κατὰ [13] τὸν νωτιαῖον, ἢ κατὰ τὰς ἄλλας ἐκροὰς, στόμα, αἰδοῖον, ὦτα, ῥῖνας. Ἐξ ὑστέρης, [14]ὀκταμήνῳ τὰ τῶν κρίσεων, τῇ ὑστεραίῃ ὡς ἂν ἐς τὴν [15] ὀσφὺν, ἢ ἐς τὸν μηρόν. Καὶ ἐς [16]ὄρχιας ἔστιν ὅτε ἐκ βηχέων, καὶ ὄρχις αὐτὸς [17]ἐφ᾽ ἑωυτοῦ. Βηχώδεες ἀποστάσιες, αἱ μὲν ἀνωτέρω τῆς κοιλίης, [18] οὐχ ὁμοίως τελέως ῥύονται. Αἱμοῤῥαγίαι [19]λαῦροι ἐκ ῥινῶν ῥύονται πολλὰ, οἷον [20] τὸ Ἡραγόρεω· [21] οὐκ ἐγίνωσκον οἱ ἰητροί.

[1] Αἱ om. C. – αἱ τῶν κ. K. – νούσου, ut supra. – νόσου vulg. — [2] ἀπὸ J. – πῦον J. – πῦος Gal. – πύον vulg. — [3] τὸ DK. – ἐς τὸ ἔξω ἀφιστ. C. – γαγγαὶ C. – Heringa, *Observ. Crit.*, p. 60, observant que ni Erotien ni Galien n'ont expliqué ταγγαὶ, mot cependant obscur, propose d'y substituer γάγγλια. Mais ταγγὴ n'est pas un mot isolé dans la langue grecque; v. ταγγίασις, ταγγίζω, ταγγός; par conséquent il doit être conservé. — [4] οἷον D. – ἢ vulg. — [5] λόποι C. – λοποὶ vulg. – λοπὸς DQ′. Dans Erot., p. 240, on a λέποι, λεπίσματα; il faut sans doute lire λέπη, comme le dit Foes. Voy. aussi λέπια, Coaque 458. Schneider, dans son Dict., préfère λόπος. — [6] ἢ CFGJK, Frob. – καὶ vulg. – μάδησις C, Frob. – μάδισις vulg. — [7] ἀποστάσιος J. – ῥέψασαι C. – ῥεύσασαι vulg. – ἡμίρροπος CFGHIK. — εἰρέαται in marg. H. – Heringa. ib. p. 61, ne trouvant pas ἡμιῤῥόπως suffisamment opposé à ἀθρόως, propose de lire ὁμοῤῥόπως, *continuo atque æquali impetu.* — [8] ἢ Gal. – νούσου CFHIJK, Frob., Merc., Lind. – νόσου vulg. — [9] τιμενέω J. – τιμένω C. – τημένεω Gal. – τημενίω D. – τημενέω vulg. – ἀδελφίδη I. – ἀδελφίδι HK. – νούσου C, Lind. – νόσου vulg. — [10] ἐπεστ. Gal. – οὐχ᾽ GHI. – οὐχὶ κἂν pro οὐχ ἱκ. J. – post ἱκ. addit δὲ vulg. – δὲ om. CFGHIJK. – [11] [καὶ] ἀπ. Lind. – [12] [τὰ] ὀ. Lind. – [13] τὸ FGK. – τὸν om. D. – ῥίνας FH, Ald., Frob., Merc. — [14] ὀκταμήνων J. — Dans son Commentaire sur Ép. II, 1, texte 2, Galien explique τῇ ὑστεραίῃ par ὑστέρῳ χρόνῳ ἢ μηνί. Il ne faut donc pas le traduire par *postridie.* – [15] ὀσφὺν Gal., Lind. – ὀσφῦν vulg. — [16] [τοὺς] ὀρ. Lind. – ἔστι δ᾽ ὅτε vulg. (ἔστι. ὅτε δ᾽ ἐκ Chouet.) – ἔστι. ὁτὲ δ᾽ ἐκ Kühn. — [17] ἀφ᾽ CDFHIJK.

12), par exemple les varices, les pesanteurs des lombes, à la suite d'affections siégeant en haut. Les meilleurs sont les dépôts se faisant en bas, au plus bas du ventre, et le plus loin de la maladie ; ainsi que les dépôts par écoulement : le sang par les narines, le pus par l'oreille, l'expectoration, l'urine, forment des dépôts par écoulement. Cela faisant défaut, il y a des dépôts sur les dents, sur les yeux, sur le nez (Ép. vi, 6, 12 ; iv, 23 ; iv, 25 ; iv, 35 ; iv, 52), par la sueur, ainsi que les tumeurs formées sous la peau aboutissant au dehors, telles que les tumeurs scrofuleuses, ainsi que les suppurations, une plaie, les éruptions, les desquamations, la chute des cheveux, l'alphos, la lèpre ou les choses analogues qui vont se déposant par un mouvement considérable et non par un demi-mouvement ; et les autres cas qui ont été indiqués. Il faut encore que le dépôt ne soit pas au-dessous de la grandeur de la maladie, comme chez la nièce de Temenès : à la suite d'une maladie intense, dépôt sur un doigt ; le doigt ne suffisait pas à le recevoir ; récidive, mort (Ép. iv, 26). Il y a des dépôts ou par les veines, ou par le ventre, ou par les parties nerveuses, ou par la peau, ou par les os, ou par la moelle épinière, ou par les autres voies, bouche, parties génitales, oreilles, narines. Pour la matrice, au huitième mois, les crises ; plus tard, transport sur les lombes ou la cuisse (Ép. vi, 1, 1). Parfois aussi crise sur les testicules à la suite de toux (Ép. ii, 5, 9 ; iv, 61). Le testicule peut aussi se tuméfier par lui-même. Les dépôts de la toux, quand ils se font dans les régions placées au-dessus du ventre (Ép. vi, 1, 12), ne délivrent pas aussi complètement. Les hémorrhagies abondantes par les narines délivrent dans beaucoup de cas, comme dans celui d'Héragoras ; ce que ne connurent pas les médecins.

— [18] οὐχ' FHI. — [19] λάβροι DH. — [20] τῷ HK. - ἡραγορέω I. - ἡραγόρρεω C - ἡραγοραίω J. - Nonnulla (in αγορας) corrupta adhuc circumferuntur vel dubia sunt. Tale est Ἡραγόρας, variis modis a librariis et criticis tentatum .... Confer Corp. Inscr. n. 2868, 3, 5, Ἡραγόρας Ποσειδωνίου Μακεδών, ubi Boeckh., v. II, p. 559, b: Ἡ. est nomen, inquit, qualia Διαγόρας, Ἑρμαγόρας (Keil, Analecta epigraphica, p. 155). — [21] οὐδ' Lind.

8. Τὰς φωνὰς [1] οἱ τρηχέας φύσει ἔχοντες, καὶ αἱ γλῶσσαι [2] ὑποτρηχέες, καὶ ὅσαι τραχύτητες ὑπὸ νούσων ὡσαύτως· [3] αἱ οὖν ἐοῦσαι σκληραὶ τῇ φύσει, [4] καὶ ἄνοσοι τοῦτ' ἔχουσιν· [5] αἱ δὲ μαλθακαὶ, καὶ βραδύτεραι ἐς ἁμαρτωλίην ἢ χρηστόν. [6] Ἡ ἀρχαίη φύσις· σκεπτέον καὶ τὰ ἀπὸ τῶν [7] διαιτέων τὰ μακροκέφαλα, καὶ μακραύχενα ἀπὸ τῶν ἐπικυψίων· καὶ τῶν φλεβῶν ἡ εὐρύτης [8] καὶ παχύτης ἀπὸ τοῦ αὐτοῦ, καὶ στενότητες, [9] καὶ βραχύτητες, καὶ λεπτότητες, [10] ἀπὸ τῶν ἐναντίων· ὧν αἱ φλέβες εὐρεῖαι, καὶ αἱ κοιλίαι, καὶ τὰ ὀστέα [11] εὐρέα· εἰσὶ [12] δὲ οὗτοι [13] οἱ λεπτοὶ, οἱ δὲ πίονες τἀναντία τουτέων· [14] καὶ ἐν τοῖσι λιμαγχικοῖσιν αἱ μετριότητες [15] ἀπὸ τουτέων σκεπτέαι. Αἱ προαυξήσιες ἑκάστῳ [16] ἃ μειοῦσι, καὶ αἱ [17] μειώσιες ἃ προαυξοῦσι, καὶ [18] τῇσι προαυξήσεσιν, ὁποῖα συμπροαύξεται, καὶ ὁποῖα συγκρατύνεται, καὶ διασφάξιες ποῖαι κοιναὶ τῶν φλεβῶν.

9. Αἱ τῶν ἤτρων ῥήξιες, αἱ μὲν περὶ ἥβην [20] τὰ πλεῖστα ἀσινέες τοπαραυτίκα· αἱ δὲ σμικρὸν ἄνωθεν τοῦ ὀμφαλοῦ ἐν [21] δεξιᾷ, ὀδυνώδεες αὗται καὶ ἀσώδεες, καὶ κοπριήμετοι, οἷον καὶ [22] τὸ Πιττακοῦ·

[1] Οἳ GH. – ἣ J. – φύσεις D. – Ces membres de phrase sont juxtaposés et non liés; et il ne faut pas traduire : Quibus voces natura sunt asperæ, iis linguæ sunt subasperæ. — [2] ὑποτρηχέες est ici au féminin. V. pour des féminins de cette forme, Prorrh., I, 26. — [3] γοῦν J. – σκληραὶ ἐοῦσαι Gal. — [4] καὶ ἄν. om. C. – ταῦτ' DQ', Lind. — [5] οἷσι CFHIK. – ᾗσι DJQ'. — [6] ἡ CHIK. – ἢ vulg. – Cette phrase est fort obscure. Foes traduit : molles (linguæ) vero ad noxam et utilitatem tardius quam prior illa natura transeunt. Mais ἀρχαίη φύσις signifie dans Hippocrate non ce qui vient d'être dit plus haut, mais l'état naturel de l'individu avant la maladie, ἡ πρὸ τοῦ νοσεῖν καὶ κατὰ φύσιν οὖσα, comme dit Erotien, p. 46. Cette signification est constante; il faut donc laisser de côté l'interprétation de Foes. Immédiatement après avoir expliqué ἀρχαίη φύσις, Erotien explique ἁμαρτωλίην, qu'il rend par τὴν τῶν ἁμαρτημάτων εἴδησιν, *la connaissance des erreurs*. Cette juxtaposition des deux gloses montre que la double explication d'Erotien se rapporte à notre passage; toutefois, je ne puis concilier cette explication avec notre texte tel qu'il est. Le seul changement que je me sois permis, a été de mettre un point après χρηστὸν, à l'exemple de Günz, dans Duret. V. la bibliographie. — [7] διετέων J, Ald. – ἐπικύψιων Lind. – ἐπισκηψίων D. — [8] καὶ παχ. om. Lind. – [9] Ante καὶ addit καὶ πλατύτητες vulg. – καὶ πλ. om. C, Lind. — [10] καὶ ἀπὸ vulg. – καὶ om. CH. – Ceux qui admettent καὶ, font rapporter τῶν ἐναντίων à ce qui suit. — [11] εὔρεα I. — [12] δ' C. — [13] οἱ

8. (*Indications à prendre dans l'état individuel.*) Il y a des voix naturellement rauques et des langues un peu âpres ; il y a des âpretés semblables produites par des maladies (Ép. VI, 6, 7). Quand la langue est dure naturellement, elle l'est même dans l'état de santé ; mais quand elle est souple, elle est plus lente à passer au mal ou au mieux. L'état naturel avant la maladie ; il faut aussi considérer : les têtes allongées, provenant des coutumes (*Des Airs, des Eaux, des Lieux*, 14, t. II), les cous allongés provenant des gibbosités (*Des Artic.*, 41, t. IV), l'ampleur et la grosseur des veines dépendant d'une même cause, et, dépendant de causes contraires, le resserrement, la petitesse, l'exiguité des veines. Chez ceux qui ont les veines amples, il y a aussi ampleur du ventre et des os ; ce sont là les individus sans embonpoint ; avec l'embonpoint les caractères sont contraires. C'est par ces signes qu'il faut trouver, chez ceux qu'on amaigrit, la mesure de l'amaigrissement (*Des Artic.*, 8, t. IV, p. 101). Étudier, pour chacun, ce que telle croissance fait décroître, ce que telle décroissance fait croître, et, dans les croissances, ce qui croît simultanément, ce qui se fortifie simultanément ; étudier aussi quelles sont les divisions communes des veines.

9. (*Hernies.*) Des hernies, les unes, siégeant près du pubis, sont, pour la plupart, innocentes tout d'abord ; les autres, siégeant un peu au-dessus de l'ombilic à la droite, causent de la douleur, des nausées, des vomissements stercoraux, ainsi qu'il arriva à Pittacus. Les hernies sont produites ou par

om. C. — [14] *κἂν λιμαγχονικοῖσι τὰς μετριότητας ἀπὸ τούτων σκεπτέον* Gal. in cit. De temper. II, 14. — [15] *ὑπὸ* C. – *σκεπτέα* J. — [16] *ἀμείνους* pro *ἃ μ.* C. — [17] *μειώσηες* C. – *αἳ* C. – *προαύξουσι* CHJ. — [18] *τῇσι* Gal. – *τοῖσι* vulg. – *προαύξεσιν* (sic) vulg. – *προαυξήσεσιν* Lind. — [19] *διάσφαξις* n'est pas dans les dictionnaires ordinaires. Ce mot paraît assez mal accouplé avec *κοιναί*. Peut-être devrait-on y substituer ou *διαφλύξιες*, *effusiones*, que le Gloss. de Galien cite comme étant un mot des livres Hippocratiques, et qui ne s'y trouve plus aujourd'hui, ou *διασφύξιες*, qui est dans le livre *De l'aliment*. — [20] *ταπλ.* G. – *τὰ παραυτίκα* C. – *τὸ παραυτίκα* F, Gal. — [21] *δεξιοῖς* Lind. – *αὗται ὀδυν.* C. – *ἀσσώδεες* K. — [22] *τῷ* J. – *τῷ Πιττακῷ* Lind.

γἶνονται δὲ αὗται ἢ ἀπὸ πληγῆς, ἢ σπάσιος, ἢ [1] ἐμπηδήσιος ἑτέρου.

10. Οἷσι τὸ μεταξὺ τοῦ ἤτρου καὶ τοῦ δέρματας ἐμφυσᾶται, καὶ οὐ καθίσταται. Τὸ τῶν χροιῶν, οἷον τὸ [2] πουλύχλωρον, τό τε ἐκ [3] λευκοχρόου, ὅτι ἀπὸ τοῦ ἥπατος πᾶν τὸ [4] τοιοῦτον, καὶ ἀπὸ τουτέου ἡπατικὰ νουσήματα, ἐν τουτέοισι καὶ ἴκτεροι [5] οἱ ἀπὸ τοῦ ἥπατος, ἐς τὸ ὑπόλευκον, καὶ [6] οἱ ὑδαταινόμενοι, καὶ οἱ λευκοφλέγματοι· οἱ δὲ ἀπὸ σπληνὸς, μελάντεροι, καὶ [7] [οἱ] ὕδρωπες, καὶ οἱ ἴκτεροι· καὶ αἱ [8] δυσελκίαι τῶν ἐκλεύκων, τῶν [9] ὑποφακωδέων, καὶ τὸ δέρμα καταῤῥήγνυται, καὶ τὰ χεἶλεα, οἷος Ἀντἴλοχος καὶ Ἀλεύας· [10] τὸ ἀπὸ τῶν χυμῶν τῶν ἐκ τοῦ σώματος τοῦ ἁλμώδεος· ὅτι ὑπὸ τὸ δέρμα μάλιστα καὶ ἀπὸ [11] τῆς κεφαλῆς, ὅταν ἀπὸ τοῦ [12] πλεύμονος διαθερμαίνηται.

11. Τὰς ἀφορμὰς, ὁπόθεν ἤρξατο κάμνειν, σκεπτέον, εἴτε κεφαλῆς ὀδύνη, εἴτε ὠτὸς, εἴτε πλευροῦ. Σημεῖον δὲ, ἐφ᾽ οἷσιν ὀδόντες, καὶ ἐφ᾽ οἷσι βουβῶνες. Τὰ γενόμενα ἕλκεα, [13] κρίνοντα πυρετοὺς, καὶ φύματα· οἷσι ταῦτα μὴ παραγίνεται, [14] ἀκρισίη· [15] οἷσιν ἐγκαταλείπεται, βεβαιόταται ὑπόστροφαὶ καὶ τάχισται.

12. Τὰ ὠμὰ διαχωρήματα καὶ ὑγρὰ κέγχρος στερεὸς ἐν ἐλαίῳ ἐφθὸς ἵστησιν, οἷον τὸ [16] ναυτοπαίδιον, καὶ [17] ἡ μυριοχαύνη.

[1] Ἐμπηδήσεως K. — [2] πουλυχλώριον vulg. – πουλυχάριον CDFGHIJK. – πουλυχώριον Ald., Frob., Merc. – Struve (Suppl. au Dict. de Schneider) conjecture πουλύχλωρον, tout en soupçonnant que le mot est encore plus altéré. Je n'ai point de meilleure conjecture. — [3] λευκοχροίου vulg. – Struve, ib., dit: « Il faut λευκόχροος; tous ces adjectifs composés ont χροος ou χρως, les verbes χροέω, les substantifs seuls χροία. » — [4] τοιοῦτο FI. – νουσήματα FGHIJK, Ald., Frob., Merc., Lind. – νοσ. vulg. — [5] αἱ Ald., Frob. – οἱ om. D. – τοῦ D. – τοῦ om. vulg. — [6] οἱ C. – οἱ om. vulg. — [7] J'ai ajouté entre crochets οἱ, que l'iotacisme a pu faire disparaître facilement devant ὕδρωπες. — [8] δυσχελίαι, in marg. δυσελκίαι C. — [9] ὑπὸ φακ. K. — [10] τῶ J. — [11] τῆς C. — τῆς om. vulg. — [12] πν. CHJK., Gal. – διαθερμαίνηται CDFGHIJK, Ald., Frob., Gal., Merc. – διαθερμαίνεται vulg. — [13] Ante κρ. addit καὶ vulg. – Le passage correspondant d'Ép. VI, montre que ce καὶ doit être supprimé. — [14] ἀκρισίη C. – ἀκρισία vulg. – ἀκρησία FGH, Ald., Frob., Merc. – ἀκρήσια (sic) I. — [15] οἷς CI. – οἷσι [δὲ] Lind. – ἐγκαταλίπεται (sic) CFG, Ald., Frob., Merc. – ἐγκαταλείπονται J. — [16] ναυταπαίδιον DFGIJK, Ald., Frob., Merc. — [17] οἱ J. – μυριοχαῦναι J. – μυριοχαύνεω K. – Gal. in Gloss.: μυοχάνη, ἐπίθετον χασκούσης· εἰ δὲ μυριοχαύνη γράφοιτο, ἡ ἐπὶ μυρίοις ἂν εἴη χαυνουμένη. Erot. in Gloss.: μηριοχάνη, ὄνομα γυναικός. – M. Rosenbaum (die Lustseuche, etc., p. 227) a examiné ce mot, et il pense que la leçon la plus probable serait μυο-

un coup, ou par une distension, ou par la pression d'un homme qui vous saute sur le ventre.

10. (*Gonflements d'apparence venteuse qui ne s'affaissent pas, quelquefois dangereux; voy.* Ép. IV, 45, *in fine*, et II, 3, 7, *in fine. Colorations dépendant du foie, de la rate; voy. des exemples de coloration de ce genre*, Ép. IV, 25.) Ceux chez qui surviennent, entre l'hypogastre et la peau, des gonflements venteux qui ne s'affaissent pas. Les couleurs, telles que la couleur jaune foncé et la couleur tirant sur le blanchâtre, parce que tout cela vient du foie, et que de cela proviennent des maladies hépatiques; dans ces états, ce qui vient du foie, ictères, hydropisies, leucophlegmasies, tire sur le blanchâtre, tandis que ce qui vient de la rate, hydropisies et ictères, est plus noir. Et de plus les ulcères se cicatrisent difficilement chez les personnes blanchâtres, un peu couleur de lentille, la peau et les lèvres se fendent (Ép. VI, 8, 16), comme chez Antiloque et Alevas; effet des humeurs du corps salsugineux; ces humeurs se portent surtout sous la peau et descendent de la tête quand elles sont échauffées par le poumon.

11. (*Point de départ des maladies; crises incomplètes.*) Il faut considérer le point de départ de la maladie: douleur soit de tête, soit d'oreilles, soit de côté. Chez quelques-uns les dents, chez d'autres les glandes fournissent un signe (Ép. VI, 3, 20). Les plaies et les tumeurs jugeant les maladies; acrisie chez ceux qui ne les présentent pas; c'est quand il y a un reliquat [après la crise] que les récidives sont les plus certaines et les plus promptes (Ép. II, 3, 8; VI, 3, 21; VI, 2, 7; IV, 28; Aph. II, 12).

12. (*Emploi du sorgho.*) Les selles crues et liquides sont arrêtées par le sorgho (*holcus sorghum* L.), en grain, cuit dans l'huile: exemple, l'enfant du matelot et Myriochaune.

χάνη; mais il ne repousse pas non plus la leçon *μυριοχαύνη*, *millibus hians;* et il rattache l'une et l'autre leçon à des sobriquets indiquant des habitudes de débauche. On peut voir, p. 84, note 11, que M. Rosenbaum s'appuie, dans cette explication, sur l'autorité de Dioscoride.

[1] ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

1. [2] Γυνὴ ἐκαρδιάλγει, καὶ οὐδὲν καθίστατο· [3] πάλην ἐς ῥοιῆς χυλὸν ἀλφίτων ἐπιπάσσουσα, καὶ μονοσιτίῃ ἤρκεσε, καὶ οὐκ [4] ἀνήμεεν, οἷα τὰ Χαρίωνος.

2. Αἱ μεταβολαὶ ὠφελέουσιν, [5] ἢν μὴ ἐς πονηρὰ μεταβάλλῃ, οἷον ἀπὸ φαρμάκων ἐμέουσι πυρετῶν [6] ἕνεκα· αἱ ἐς ἀχρητέστερα τελευταὶ σῆψιν σημαίνουσιν, οἷον Δεξίππῳ.

3. [7] Ἡ Σεράπις ἐξ ὑγρῆς κοιλίης ᾤδησεν· [8] χνησμοὶ δ' οὐχ οἶδα ποσταίῃ, οὐ πρόσω· ἔσχε δέ [9] τι καὶ ἀπόστημα ἐν [10] κενεῶνι, ὅπερ μελανθὲν ἀπέκτεινεν.

4. Καὶ ἡ [11] Στομάργεω ἐκ ταραχῆς ὀλιγημέρου πολλὰ [12] νοσήσασα,

[1] Τμ. δ. om. CFGIJK. — [2] ἄρρωστος πρῶτος DJQ'. – ἑτέρα νόσος G. – καθίστη Gal. in cit. De alim. fac. II, 24 — [3] παλὴν FGK, Ald. – παλλὴν J. – παλαιὸν C. – πάλιν Gal. – πρὶν Gal. ib. – ἄλφιτον CFGHJK, Gal. ib. – ἐπιπάσουσα C. — [4] ἀνήμεεν Gal. ib. – ανήμει vulg. – οἷον C. – χαρίωνος Gal. — [5] ἢν μὲν ἀπονηρὰ (ἐς supra ἀ) C. – μεταβάλη CH. — [6] εἵνεκα CDFGHJK, Ald., Frob., — [7] ἡ C. – σέραπες FGHIK. – σεράπαις C. – σεραπὶς Gal. σέραπις DJ, Ald., Frob., Merc. – Gal. in Gloss. : σαράπους, ἡ διασεσηρότας καὶ διεστῶτας ἔχουσα τοὺς δακτύλους τῶν ποδῶν. – M. Rosenbaum (ib. p. 229), laissant de côté σεράπις, cherche à expliquer σαράπους, dénomination qu'il rattache comme μυριοχαύνη, à des habitudes de débauche. Il s'appuie sur Dioscoride. V. note 11. — [8] χρησμοὶ (sic) D. – οἶδ' ἀποσταίῃ CFGHIK, Ald. – αἰ 'δ' ἀποσταίῃ (sic) J. – ποσταὶ (sic) ἢ πρόσω Gal. — [9] τι om. Gal. — [10] λαγόνι in marg. H. — [11] στυμάργεω C, Gal. – στυμαργέω vulg. – στιμαργέω J. – Galien dans son Gloss. a les deux gloses suivantes (trad. de Franz) : « Στομάργου, in secundo De morbis popularibus Dioscorides sic scribit, et significari ait, loquentis furiose. Alii στυμάργου scribunt et nomen proprium intelligunt. Et un peu plus loin : Στρυμάργου, agnoscit et hanc scripturam Dioscorides, non solum στομάργου, atque hoc nomen ut proprium nomen exponit, sed furiose affectum circa rem veneream significari ait ; dicta enim esse apud Hippocratem et alia eodem modo epitheta, ut μυοχάνη, σαράπους, γρυπαλώπηξ. Sed et apud Erasistratum, ait, est ῥινοχολοῦρος. M. Rosenbaum (ib. p. 222), fait très-bien remarquer que dans la seconde glose il faut lire στυμάργου et non στρυμάργου. De ces deux gloses, l'une se rapporte à notre passage, l'autre à une phrase de ce même 2[me] livre 4, 5. Il en résulte que les anciens lisaient des deux côtés στυμάργου (στυμάργεω est le génitif ionien), mais que Dioscoride dans l'un des passages lisait στομάργου, qu'il rendait par *bavard effrêné*, et dans l'autre στυμάργου, qu'il rendait par *entraîné avec frénésie par la passion vénérienne*. Στόμαργος est un mot de la langue et se trouve

DEUXIÈME SECTION.

1. (*Cas de cardialgie.*) Une femme souffrait de cardialgie sans que rien la soulageât; elle saupoudra du suc de grenade avec de la fleur de farine d'orge, elle ne mangea qu'une fois par jour, et elle n'eut pas les vomissements qu'eut Charion.

2. (*Changements dans les matières évacuées.*) [Dans les vomissements spontanés] le changement des matières, tel qu'on le voit quand on fait vomir par des médicaments dans les fièvres, est utile, à moins que les matières ne changent en mal (Aph. II, 14). Les évacuations qui se terminent par des matières plus intempérées annoncent la corruption, comme chez Dexippe.

3. (*Leucophlegmasie; gangrène, mort.*) La femme Sérapis, après avoir eu le ventre humide, enfla; démangeaisons, je ne sais quel jour elles cessèrent de s'étendre. Cette femme eut aussi dans le flanc un abcès qui, s'étant noirci (*gangrené*), la fit mourir.

4. (*Leucophlegmasie.*) Et la femme de Stomargus, à la suite d'un dérangement intestinal de peu de jours, ayant été fort malade, avorta, après cette perturbation, d'un enfant femelle de quatre mois; s'étant rétablie de l'avortement, elle devint enflée.

dans les lexiques avec la signification indiquée par Dioscoride. Quant à στύμαργος, qui ne s'y trouve pas, M. Rosenbaum le dérive ou de στῦμα et ἔργον, qui peni erigendo allaborat, ou de στύειν et μάργος, circa erectionem penis insaniens. On ne sait auquel des deux passages Dioscoride attribuait στομάργου et auquel στυμάργου. Je me suis décidé à prendre sa leçon στομάργου, et, ce qui est sans importance, à la placer ici, dans la phrase qui a donné lieu à cette longue note. On voit, de plus, que M. Rosenbaum, en considérant μυριοχαύνη ou μυοχάνη et σαράπους, comme des sobriquets indiquant des habitudes de débauche, s'est appuyé sur le témoignage et l'interprétation de Dioscoride. — [12] νοσήσασα D. – στήσασα vulg. – Coray (*des Airs, des Eaux, des Lieux*, t. II. p. 104) propose στᾶσα, qu'il rend par *ayant eu une longue constipation;* il propose aussi πονήσασα, qui se rapproche de νοσήσασα de D.

καὶ [1] μετὰ στάσιν παιδίου θήλεος ἀπὸ φθορῆς [2] τετραμήνου ὑγιήνασα, ᾤδησεν.

5. [3] Μόσχῳ λιθιῶντι ἰσχυρῶς, ἐπὶ τῷ βλεφάρῳ τῷ ἄνω κριθὴ ἐγένετο πρὸς τοῦ ὠτὸς μᾶλλον, ἔπειτα ἐξηλκώθη ἔσω· πέμπτῃ καὶ ἕκτῃ ἔσωθεν [4] πῦον ἐῤῥάγη· [5] τὰ κάτωθεν ἔλυσεν· βουβὼν παρ' οὖς ἦν, καὶ κάτω ἐπὶ τῷ τραχήλῳ κατ' ἴξιν τοῦ ἄνω βουβῶνος.

6. [6] Ὁ τῆς Ἀρισταίου γυναικὸς ἀδελφὸς χλιαινόμενος ἐταλαιπώρει ὁδῷ, κἄπειτα ἐν κνήμῃ [7] τέρμινθοι ἐγένοντο· ἔπειτα [8] συνεχὴς πυρετὸς ἐγένετο, καὶ τῇ ὑστεραίῃ ἱδρὼς ἐγένετο, [9] καὶ τὰς ἄλλας τὰς ἀρτίους ἐγένετο αἰεί. Ἔτι δὲ ὁ πυρετὸς εἶχεν· ἦν [10] δὲ ὑπόσπληνος, ἡμοῤῥάγει ἐξ ἀριστεροῦ πυκνὰ [11] κατ' ὀλίγον, ἐκρίθη. Τῇ ὑστεραίῃ, [12] ἀριστερὸν παρ' οὖς οἴδημα· τῇ [13] δὲ ὑστεραίῃ, καὶ παρὰ δεξιὸν, [14] ἧσσον δὲ ταῦτα· καὶ συνελειαίνετο ταῦτα, καὶ ἐμωλύνθη, καὶ οὐκ ἀπεπύησεν.

7. [15] Ὁ παρ' Ἀλκιβιάδεω ἐλθὼν, [16] ἐκ πυρετῶν ὀλίγων πρὸ κρίσιος ὄρχις ἀριστερὸς ᾤδησεν· ἦν δὲ σπλῆνα [17] μέγαν ἔχων· καὶ δὴ τότε ἐκρίθη

[1] Μετάστασιν παιδίου K. – παιδίου μετάστασιν vulg. – καὶ ἐκ παιδίου, μετὰ στάσιν, θήλεος ἀποφθορῆς τετραμήνου Coray ib. ex conjectura. – Galien, après avoir indiqué plusieurs causes qui peuvent produire le trouble, ταραχὴ, dit: ὅθεν, ὥσπερ ἐκ πολυχρονίας στάσεως, τὸ ἔκτρωμα τοῦ παιδίου γεγένηται. Ταραχὴ, le dérangement de ventre, et στάσις, le trouble, prolongé suivant Galien, qui en résulta, déterminèrent l'avortement. Cela m'a conduit à changer μετάστασιν de vulg., qui ne peut s'entendre et qu'aucun traducteur n'a rendu, en μετὰ στάσιν. — [2] τετράμηνον vulg. – Cette correction est indiquée par le sens, et les traducteurs l'ont suivie dans leurs traductions. — [3] μόσκῳ Gal. – λιθῶντι dans Foes et Kühn, par une faute d'impression. – ἐξελκώθη vulg. — [4] πύον CGK, Ald., Merc., Lind. — [5] κάτω DH. – ἶξιν C. — [6] ἄρρωστος δεύτερος DJQ'. — [7] τερμινθοὶ CF. – τερμίνθιες, in marg. τέρμινθοι H. – τερμίνθια K. – τερμίνθι' ἐγ. J. – ἐγένοντο τερμίνθιες D. – τερμίνθοι Ald. – « Le mot de τέρμινθος, dit Galien, désigne certains boutous noirs qui naissent surtout aux jambes, et il est tiré de la ressemblance de ces boutons avec le fruit du térébenthinier pour la forme, la couleur et la grosseur; d'ordinaire ils sont surmontés d'une phlyctène noire, laquelle, se rongeant, laisse voir un fond ayant l'apparence d'une écorchure; ce fond étant ouvert, on trouve le pus. Suivant d'autres, les τέρμινθοι sont des éminences formées sur la peau, arrondies, de couleur noire, et semblables aux fruits du térébenthinier. » Cette dernière définition est la seule que donne Galien dans son Comm. sur le livre *Des humeurs*. — [8] ξ. Lind. — [9] [ὅς] καὶ Lind. – ἀρτιαίους FGJ, Ald. – αἰεὶ CFGHIJK., Ald., Frob. Merc., Lind. – ἀεὶ vulg. — [10] δ' CFGHJK,

5. (*Affection de l'œil ; gonflement des glandes du cou.*) Moschus souffrant beaucoup de la pierre, il lui survint à la paupière supérieure du côté de l'oreille un orgelet qui s'ulcéra en dedans ; le cinquième et le sixième jour, du pus sortit du côté interne ; les douleurs d'en bas cessèrent ; il y avait une glande engorgée près de l'oreille, et une autre au bas du cou dans la direction de la glande supérieure.

6. (*Fièvre rémittente tierce, rate grosse ; parotides d'abord à gauche, puis à droite.*) Le frère de la femme d'Aristée s'échauffa par la fatigue d'une marche ; puis il lui survint à la jambe des terminthes (*ecthyma*) ; après quoi s'établit une fièvre continue ; le lendemain sueur, ainsi que tous les autres jours pairs dans la suite. Néanmoins la fièvre persistait. Il y avait un léger engorgement de la rate ; épistaxis de la narine gauche, fréquentes, peu abondantes à la fois ; solution. Le lendemain, gonflement parotidien du côté gauche ; le jour suivant, gonflement à droite aussi, mais moins considérable. Ces gonflements s'affaissèrent et disparurent sans suppurer.

7. (*Fièvre ; rate grosse ; gonflement du testicule gauche.*) Celui qui vint d'auprès d'Alcibiade, ayant été affecté de fièvres légères, eut, avant la crise, un gonflement du testicule

Ald., Frob., Merc. – ἡμορράγει C. – αἱμοῤῥάγει vulg. — [11] Ante κατ' addit καὶ vulg. – καὶ om. CDHIJ. — [12] ἀρ. om. C. — [13] δ' CHJ, Gal. in cit. Comm. II, Épid. VI, text. 50. – ὑστεραίη D, Gal. ib. – ὑστέρῃ vulg. – παρὰ om. C, Gal. ib. — [14] ἧσσον δὲ τοῦτο καὶ συνελειαίνετο ταῦτα καὶ ἐμωλύνθη καὶ οὐκ ἀπεπυήσατο Gal. in cit. ib. – ἧσσον δὲ τοῦτο καὶ ἐπεχλιαίνετο· ταῦτα κατεμωλύθη (κατεμωλύνθη Ald.; κατεμολύνθη CJ, Gal.; ἐμαράνθη supra lin. D) καὶ οὐκ ἀπεπύησεν (οὐ κατεπύησεν DFHIJK) vulg. – J'ai préféré συνελειαίνετο de la citation de Galien à ἐπεχλιαίνετο de vulg., parce que ce dernier verbe, qui signifie *devenir plus chaud*, et qui indique un travail inflammatoire, s'accorde mal avec la disparition de la tumeur sans suppuration. De plus, en considérant la phrase, je l'ai trouvée mal ponctuée, soit dans la citation de Galien, soit dans vulg.; il m'a paru que la marche du contexte conduisait à une comparaison entre les deux tumeurs, celle de droite étant la plus petite. Le καὶ devant συνελειαίνετο ou ἐπεχλιαίνετο conduit à la même conclusion. — [15] ἄρρωστος τρίτος DJ. – περὶ pour παρ' dans Foes et Kühn, par une faute d'impression. — [16] ὁ ἐκ C. – ὀλίγον D. — [17] μέγα K. – μεγάλην D. – ἔχων μέγαν C. – ἔχον Gal. – post ἔχων addunt καὶ αἰεὶ (ἀεὶ DH) ἔχων CFGIJK.

ὁ πυρετὸς, εἰκοσταῖος· κἄπειτα [1] ὑπεχλιαίνετο ἄλλοτε καὶ ἄλλοτε, καὶ ἔπτυεν ὑπάνθηρον.

8. [2] Ἡ ἡ χεὶρ ἡ δεξιὴ, σκέλος δὲ ἀριστερὸν ἐκ τῶν βηχωδέων, βραχὺ οὐκ ἄξιον λόγου βηξάσῃ, [3] παρελύθη παραπληγικῶς, ἄλλο [4] δὲ οὐδὲν ἠλλοιώθη, οὔτε πρόσωπον, οὔτε γνώμην, οὐ μὴν ἰσχυρῶς [5] ταῦτα· ἐπὶ τὸ βέλτιον ἤρξατο χωρέειν περὶ εἰκοστὴν ἡμέρην· σχεδὸν ἐγένετό οἱ [6] περὶ γυναικείων κατάῤῥηξιν, καὶ ἴσως τότε πρῶτα [7] γινόμενα, παρθένος γὰρ ἦν.

9. [8] Ἀπήμαντος καὶ ὁ τοῦ τέκτονος πατὴρ τοῦ τὴν κεφαλὴν [9] κατεαγέντος καὶ Νικόστρατος οὐκ ἐξέβησσον· ἦν δὲ ἑτέρωθι κατὰ νεφροὺς ἀλγήματα· [10] ἐρωτήματα· [11] ἤρεον γὰρ αὐτοὺς ἀεὶ πληροῦσθαι ποτοῦ [12] καὶ σίτου.

10. Ὀδύνας τὰς ἰσχυροτάτας, ὅτῳ τρόπῳ [13] διαγνοίη ἄν τις ἰδών· ὁ φόβος, αἱ εὐφορίαι, αἱ [14] ἐμπειρίαι, καὶ αἱ δειλίαι.

11. Ὕδωρ τὸ ταχέως θερμαινόμενον, καὶ ταχέως ψυχόμενον, [15] αἰεὶ κουφότερον. Τὰ βρώματα καὶ τὰ πόματα πείρης δεῖ, εἰ ἐπὶ τὸ [16] ἴσον μένει.

12. Ῥητέον, ὅτι, αἵματος ῥυέντος, [17] ἐκχλοιοῦνται, καὶ ὅσα ἄλλα τοιαῦτα, [18] ὅτι πρὸς τὸ [19] ὑγραίνειν, καὶ ξηραίνειν, καὶ θερμαίνειν, καὶ ψύχειν, πολλὰ ἄν τις τοιαῦτα [20] εὕροι.

[1] *Ὑπεχλεαίνετο* I. – *ὑπάνθηρόν* (sic) F. – *ὑπανθηρὸν* vulg. — [2] *ἡ* om. Gal., Merc. – *βήξασι* Gal. – *βηζάσῃ* (sic) C. — [3] *παρεώθη* (sic) C. — [4] *δ'* C. – *ἠλοιώθη* D. — [5] *ταῦτα* Gal. – *ταύτῃ* vulg. – *ἡμέραν* Gal. — [6] *ἡ π. γ. κατάῤῥηξις* Gal. – *καταστήριξιν* C. — [7] *γεν.* C, Gal. — [8] *ἀποίμαντος* DFGI, Ald. — [9] *κατεαγότος*, in marg. *κατεαγέντος* C. – *καταγέντος* vulg. – *ἐξέβησσον* DFGHIJK, Ald., Frob., Merc. – *ἐξέβηξαν* C. – *ἐξέβησσεν* vulg. — [10] *ἐρωτ.* om. Lind. — [11] *εἴρεον* C. – *ἠρώτων* gl. F. – *γὰρ αὐτοὺς* om. C. – *αὐτὴν* Ald., Frob., Merc. – *αἰεὶ* Lind. — [12] *καὶ* Gal. – *ἢ* vulg. — [13] *γνοίη* C. — [14] *ἐμπορίαι* G, Ald., Frob. – *καὶ* om. K. — [15] *αἰεὶ* CDFGHIJK, Ald., Merc. – *ἀεὶ* vulg. – *δεῖται* Gal. in cit. De alim. fac. I, 2. — [16] *ἴσον* JK, Gal. – *ἶσον* vulg. – *μένοι* K. – *μένῃ*, Gal. ib. – D'après Galien, *ἐπὶ τὸ ἴσον μένειν* n'est pas précis, et l'on ne sait si cela doit s'entendre du temps que les substances alimentaires passent dans les voies digestives, ou des qualités diverses qu'elles possèdent. Il ajoute qu'on peut douter que les aliments et les boissons *ἐπὶ τὸ ἴσον μένει*; que cependant Hippocrate lui-même a dit: il est plus facile de restaurer avec des boissons nutritives qu'avec des aliments solides (Aph. II, 11). Ce sont ces remarques qui m'ont déterminé à traduire comme j'ai fait. — [17] *ἐκχλοιοῦνται* CH, Gal., Lind. – *ἐκχλιοῦνται* DK. – *ἐκχλοοῦνται* vulg. – Galien, citant cette phrase, Comm. III, ad. Prorrh. 131. lit *αἵματος*

gauche ; il était porteur d'une grosse rate ; pour lors la fièvre fut jugée le vingtième jour ; plus tard il eut de temps à autre un peu de chaleur fébrile et une expectoration un peu rouge.

8. (*Paralysie à la suite d'une toux ; épidémie de toux à Périnthe,* Ép. VI, 7, 1.) Celle qui, à la suite d'une toux courte et sans importance, éprouva une paralysie du membre supérieur droit et du membre inférieur gauche, n'offrit aucune autre altération, rien à la face, rien dans l'intelligence ; et encore la paralysie ne fut-elle pas intense ; cette femme commença à aller mieux vers le vingtième jour. Le mieux coïncida à peu près avec l'éruption des règles, qui apparaissaient alors pour la première fois, peut-être ; car c'était une jeune fille.

9. (*Malades préservés de la toux de Périnthe*, Ép. VI, 7, 1, *par une affection rénale,* Ép. VI, 7, 10 ; *comp.* Ép. IV, 29. *On voit par là qu'Apémante et sa famille étaient de Périnthe.*) Apémante et le père du charpentier, celui qui eut une fracture du crâne, et Nicostrate ne toussèrent pas ; mais ils avaient des douleurs ailleurs, aux reins ; interrogés, ils dirent qu'ils se remplissaient continuellement d'aliments et de boissons (Ép. VI, 1, 5).

10. (*Des douleurs.*) De quelle façon apprécier l'intensité des douleurs ? Consulter la crainte, la tolérance, l'expérience, la timidité.

11. (*De l'eau*, Aph. V, 26.) L'eau qui s'échauffe promptement et se refroidit promptement est toujours plus légère. Relativement aux aliments et aux boissons, il est besoin d'expérience pour en déterminer l'équivalence.

12. (*Pertes de sang, décoloration.*) Il faut dire que des pertes de sang donnent une teinte verdâtre à la peau, et autres choses semblables, et qu'on trouvera beaucoup de moyens propres à humecter, à dessécher, à échauffer, à refroidir.

πολλοῦ. — [18] ὅτι ..... τοιαῦτα om. DFGIJK, Ald., Frob., Merc. — ὃ καὶ pro ὅτι Gal., in cit., Ép. VI, Comm. I, text. 15. — [19] ὑγιαίνειν C. — [20] εἴποι CDFGHIJK, Ald., Frob., Merc. — εὕροι τοιαῦτα Gal. ib.

13. Τὸ ἑξηκονθήμερον ἀπόφθαρμα ἄρσεν [1] τόκων ἐν ἐπισχέσεσιν, ὑγιηρόν.

14. [2] Ἡρακλεῖ ᾤδει ἐπὶ τοῦ κακοῦ ὀγδοαίῳ

15. Δυσεντεριώδης [3] μᾶλλον, ὅστις ἄρα καὶ τεινεσμώδης.

16. Θηλάζουσα εἶτα [4] ἐκθύματα ἀνὰ τὸ σῶμα πάντῃ εἶχεν, ἐπεὶ ἐπαύσατο θηλάζουσα, [5] κατέστη θέρεος.

17. [6] Τῇ τοῦ σκυτέως, ὃς τὰ σκύτινα ἐποίησε, τεκούσῃ καὶ ἀπολυθείσῃ [7] τελέως, ἐδόκει τοῦ [8] μὲν χορίου τι τὸ ὑμενοειδὲς ἀπέχειν, ἀπῆλθε τεταρταίῃ κακῶς· [9] στραγγουριώδης γὰρ ἐγένετο· αὐτίκα [10] συλλαμβάνουσα ἔτεκεν [11] ἄρσεν· πολλὰ [12] δὲ ἔτεα ἤδη εἶχε, τὰ ὕστατα [13] οὐδ' ἐπιμήνια ᾔει· ὅτε [14] δὲ τέκοι, [15] διέλειπεν ἐπ' ὀλίγον ἡ στραγγουρίη.

18. Ἰσχίον δέ τις ἤλγει, πρὶν [16] ἴσχειν· ἐπεὶ [17] δὲ ἔσχεν, οὐκέτι ἤλγει. Ἐπεὶ [18] δὲ ἔτεκεν, εἰκοσταίη ἐοῦσα, αὖθις ἤλγησεν· ἔτεκεν [19] οὖν ἄρσεν· ἐν γαστρὶ ἐχούσῃ, ἐν κνήμῃ κάτω δεξιῇ, ἢ τρίτῳ ἢ [20] τετάρτῳ μηνὶ, ἐξανθήματα, πρὸς ἃ τῇ μάννῃ χρώμεθα, καὶ ἐν χειρὶ [21] δεξιῇ παρὰ μέγαν

[1] Τόκου (ω supra lin. C), Kühn. – Galien dit dans son Comment. : « Il arrive parfois dans la dystocie causée par la rétention du sang (τὴν τοῦ αἵματος ἐπίσχεσιν), que, en raison des grands efforts que fait la femme pour expulser l'enfant, les parties sexuelles se déchirent (ἀφίσταται). Quant à ce que l'auteur dit au sujet de cette femme, que l'avortement fut salutaire (ὑγιηρὸν ἦν), cela n'a rien d'étonnant ; en effet, la maladie fut soulagée par la fausse couche, et la femme fut sauvée. » Le commentaire montre qu'il s'agit ici d'un cas particulier, et non d'un précepte général. Au reste, la nature de ce cas particulier reste obscure. — [2] ἡράκλεις vulg. – ἡράκλειδες (sic) C. – ἡράκλεις δὲ H. — ὧδε vulg. – ᾧδε Gal. – ἐπὶ om. vulg. – On lit dans le Glossaire de Galien : « ωδεῖ (sic) ἐπὶ τοῦ κακοῦ. Ἀρκεσιλάῳ δὲ καὶ κακὸν ᾤδει, évidemment sans iota, et non, comme le suivant, avec un ι. » La glose suivante est en effet ᾤδει, οἰδαίνει De la première glose, les mots Ἀρκεσιλάῳ δὲ καὶ κακὸν ᾤδει appartiennent à Ép. VI, 3, 5; c'était une leçon de Dioscoride (V. le Comm. de Galien). Quant à ᾤδει ἐπὶ τοῦ κακοῦ, c'est évidemment le passage actuel, dans lequel, comme on voit, il faut rétablir ἐπὶ, et prendre ᾤδει pour le plusque-parfait de ὄζω. Quant à ᾧδε de vulg. (l. ᾧδε), les traducteurs latins ont mis *intumuit*, le faisant venir de je ne sais quel temps du verbe οἰδάω. Au reste, cette phrase est une note qui, dans sa briéveté, ne pouvait avoir de sens que pour celui qui l'avait écrite.— [3] μᾶλλον om. C. – ἄροτι (sic) ἦν καὶ τεν. pro ὅστις ἄ. κ. τ. C. – τεν. IK. – τέν. Gal. — [4] ἐκθήματα DFGK, Ald., Frob., Merc. — [5] κατέστη CDFGHIJK, Ald., Frob., Merc. – καθέστη vulg. — [6] ἄρρωστος τέταρτος DJQ'. – σκυτέος D. – ὃς τ. σ. ἐ. om. Lind. — [7] τελείως D. — [8] μὲν

13. (*Note trop brève.*) L'expulsion d'un avorton mâle de soixante jours fut salutaire dans la rétention du part.

14. (*Note trop brève.*) Héraclès exhalait une mauvaise odeur au huitième jour.

15. (*Dysenterie et ténesme.*) On est plutôt affecté de dysenterie, sans doute, quand on l'est déjà de ténesme.

16. (*Éruption accompagnant l'allaitement.*) Une femme allaitait ; sur quoi, elle eut des boutons par tout le corps ; ayant cessé de nourrir, elle fut délivrée de cette éruption pendant l'été.

17. (*Strangurie habituelle suspendue seulement pendant les couches.*) La femme de l'ouvrier en cuir ayant accouché et étant délivrée complétement, il semblait que quelque portion membraneuse du chorion avait été retenue ; cette portion sortit le quatrième jour avec souffrance ; car la femme fut affectée de strangurie ; ayant conçu aussitôt après, elle accoucha d'un garçon ; l'affection strangurique durait depuis plusieurs années ; sur la fin les règles mêmes se supprimèrent. Lorsqu'elle accouchait, la strangurie se suspendait pour un peu de temps.

18. (*Coxalgie suspendue par la grossesse.*) Une femme était affectée de coxalgie avant d'être enceinte ; devenue grosse, elle ne souffrait plus. Après l'accouchement, le vingtième jour, elle fut reprise de la douleur. Elle avait accouché d'un garçon. Pendant la grossesse, le troisième ou le quatrième mois, il survint au bas de la jambe droite et à la main droite près du pouce un exanthème pour lequel nous employons la

punctis notatum L. – χαρίου DJ, Lind. – χωρίου vulg. – τι om. C. – ἀπέχειν (L, vel ἀπεῖναι), Gal., Lind. – ἀπέσχειν (sic) Merc. – ἀπέσχεν vulg. — [9] στραγγουριώδης C. – γὰρ om. C, Gal. – ἐγίνετο D. — [10] ξ. Lind. — [11] δ' ἄρσεν C. — [12] δ' C. — [13] Ante οὐδ' addit καὶ vulg. – καὶ om. C. – οὐδὲ Gal. – ἤει CDGHJK, Lind. – ἦξει FI. – εἴη vulg. — [14] ὅτε Kühn. – δὲ DFGIK, Frob. – δὲ om. vulg. — [15] διέλειπεν Gal. – διέλιπεν vulg. – ἐπ' ὀλ. χρόνον CH. — [16] ἴσχει J. – In marg. ὅρα ταύτην τὴν ἱστορίαν DIJ. — [17] δ' CFGHIK, Ald., Frob., Gal., Merc. – οὐκέτι HIJK, Gal. – ἔτ' C. — [18] δ' CJ. – ἐπειδὴ pro ἐ. δὲ Gal. – εἰκοσταία Gal. – αὖτις C. — [19] δὲ pro οὖν Gal. – μέντοι C. — [20] τεταρταίῳ D. — [21] χ. τῇ δεξιῇ K. – μέγα DHK.

δάκτυλον· οὐκ [1] οἶδ᾽ ὅ τι ἔτεκε, κατέλιπον γὰρ ἑξάμηνον· ᾤκει [2] δὲ, ὡς ἐγὼ οἶμαι, [3] τὰ Ἀρχελάου πρὸς τῷ κρημνῷ.

19. [4] Ἡ Ἀντιγένεος, [5] ἡ τῶν περὶ Νικόμαχον, ἔτεκε παιδίον, σαρκῶδες μὲν, ἔχον δὲ τὰ μέγιστα διακεκριμένα, μέγεθος δὲ ὡς τετραδάκτυλον, [6] ἀνόστεον, ὕστερον δὲ παχὺ [7] καὶ στρογγύλον· αὕτη δὲ ἀσθματώδης ἐγένετο [8] πρὸ τοῦ τόκου· ἔπειτα ἅμα τῷ τόκῳ [9] πῦον ἀνήμεσεν ὀλίγον, οἷον ἐκ δοθιῆνος.

20. Θυγατέρας τεκούσης διδύμους καὶ δυστοκησάσης καὶ οὐ [10] πάνυ καθαρθείσης, ἐξῴδησεν ὅλη· ἔπειτα ἡ γαστὴρ μεγάλη ἐγένετο, τὰ δ᾽ ἄλλα ἐταπεινώθη· καὶ ἐρυθρὰ ᾔει μέχρι τοῦ ἕκτου μηνὸς, ἔπειτα λευκὰ κάρτα [11] πάντα ἤδη τὸν χρόνον· πρὸς δὲ [12] τἀφροδίσια οἱ ῥόοι ἔβλαπτον, [13] καὶ οἱ ἄκρητα ἐρυθρὰ ἱκνευμένως ᾔει.

21. Τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη [14] γενομένη, πρόσθεν μηδέποτε γενομένη, σημεῖον [15] χρηστὸν, οἷον Δημαινέτῃ ἐγένετο· ἴσως δ᾽ ἐστὶ καὶ τεχνήσασθαι· καὶ γὰρ αἱ ταραχαὶ αἱ τοιαῦται [16] ἀλλοιοῦσιν· ἴσως δὲ καὶ ὀξυρεγμίαι λειεντερίην λύουσιν.

[1] Οἶδα Gal. – ὅ τι GI, Lind. – ὅτι vulg. – οἵ τῇ K. – οἵ τι H. – On peut croire, comme le dit Galien, qu'il y a ici l'histoire de deux malades, puisque plus haut il est dit : *la femme accoucha d'un garçon*, et ici : *je ne sais ce que la femme mit au monde.* La seconde histoire commencerait à ἐν γαστρὶ ἐχούσῃ. — [2] δὲ om. C. – ὡς om. GHK. – ὡς ἐγὼ om. D. – ἐγῷμαι C. – [3] Ant. τὰ addunt ὡς CFGHIK. – ἀχελώου CH. – ἀρχελώου FJ. — [4] ἡ CK, Lind. – κρημνῷ ἡ Ἀ. vulg. – ἀντιγένεος CFH, Gal., Lind. – ἀντιγενέος vulg. — [5] ἡ τῶν περὶ ν. C. – ἡ περὶ τὸ ν. vulg. – ἡ περὶ ν. Chouet, Kühn. – ἡ περὶ τὸν ν. Lind.. – ἡ τὸ περὶ ν. Gal. – ἣ τὸν περὶ ν. DFGHI. – ἣ τὸν περὶ ν. K. – ἣ τῶ περὶ ν. J. – ἣ τὸ περὶ ν. Ald., Frob. – ἔτεκε H. – τέκε vulg. – Galien dit que cet accouchement serait fort singulier, si on ne devait y voir un avortement. — [6] ἂν ὀστέον C. – Les traducteurs latins rendent ὕστερον par *tandem.* Evidemment ὕστερον signifie ici l'arrière-faix. — [7] καὶ Gal. – καὶ om. vulg. – στρογγῦλον J. — [8] πρὸς K. – ἔπειθ᾽ ἅμα τόκῳ Gal. in cit. De dyspn. III, 11. — [9] πύον CGI, Ald., Frob., Lind. – δοθίηνος I. – διδύμας I. — [10] πάντη DFHIJK. – δὲ Gal. – ἥει CDHJK. – ἥει FI. – εἴη vulg. – ἴει Lind. — [11] ἤδη πάντα K. — [12] τὰ ἀφρ. CD, Gal. – Galien, dans son commentaire sur ce passage et dans le préambule de son Comm. sur Ép. VI, nous apprend que les anciens exemplaires portaient αἱ οὐραὶ ἔβλεπον. C'était la leçon que Dioscoride avait suivie dans son édition. Heraclide de Tarente, regardant cette leçon comme improbable, supposa que le premier copiste avait omis la barre transversale dans le θ, et avait écrit οὐραὶ, au lieu de θύραι ; par conséquent il lisait αἱ θύραι ἔβλεπον. Il paraît aussi, par le

poudre d'encens. Je ne sais ce que la femme mit au monde ; car je la quittai au sixième mois ; elle demeurait, si je ne me trompe, chez Archélaüs, près du précipice.

19. (*Produit difforme de la conception ; oppression ; rejet d'un peu de pus.*) La femme d'Antigène, laquelle appartenait à la maison de Nicomaque, accoucha d'un fœtus charnu, ayant les parties les plus considérables distinctes, long de quatre doigts, sans os, et un arrière-faix épais et rond. Cette femme devint oppressée avant l'accouchement ; puis, en accouchant, elle rejeta un peu de pus, comme s'il provenait d'un furoncle.

20. (*Lochies incomplètes ; enflure du ventre ; écoulement.*) Une femme accouchée de deux jumelles, après un travail pénible, et n'étant pas complétement purgée, fut prise d'une enflure générale ; puis le ventre se gonfla, et l'enflure du reste du corps disparut ; un écoulement rouge persista jusqu'au sixième mois, puis il fut remplacé par un écoulement très-blanc qui ne cessa plus ; l'écoulement la gênait pour les approches sexuelles, et au temps réglé il survenait un écoulement rouge intempéré.

21. (*Lienterie*, Aph. VI, 1.) Dans les lienteries chroniques, les rapports aigres qui surviennent, lorsqu'ils n'existaient pas préalablement, sont un signe favorable ; Démænète en a offert un exemple ; peut-être devrait-on essayer de provoquer artificiellement ces rapports acides ; car de telles perturbations modifient ; peut-être aussi les rapports acides ont-ils la propriété de guérir la lienterie.

préambule de Ép. VI, que Héraclide lisait *πρὸς δὲ τὸ Ἀφροδίσιον* ; de sorte que le tout signifiait : *les portes regardaient le temple de Vénus*, et ce serait une indication de la demeure de la malade. Suivant Galien, ni la leçon primitive, ni la correction ne sont intelligibles, et il proppse *οἱ ῥόοι ἔδλαπτον*. Cette conjecture, très-judicieuse, donne un sens satisfaisant. Tous nos mss. ont *οἱ ῥόοι*. — [13] *χαίοι* (sic) K. – *ἄχριτα* C. – *ἰχνευμένως* C. – *ἰχνεύμενα* vulg. – *ἰχνεύμενα* K. – *ἥει* CDGHJK, Ald. – *ἥει* FI. – *ἴει* vulg. — [14] *ἐπιγενομένη* L. – *πρ. μ. γ.* om. K. – *μὴ* C. — [15] *ἀγαθὸν* L. – *δημενέτω* C. – *δὲ* Gal. – *αἱ ταρ.* om. K. — [16] *ἀλύουσιν* C.

22. Ἰήθη [1] ἐλλεβόρου πόσει Λυκίῃ· τὰ ὕστατα σπλὴν μέγας, καὶ [2] ὀδύναι, καὶ πυρετὸς, καὶ ἐς ὦμον [3] ὀδύναι· καὶ ἡ φλὲψ, ἡ κατὰ σπλῆνα, ἐπ' ἀγκῶνι ἐτέτατο· καὶ [4] ἔσφυζε μὲν πολλάκις, [5] ἔστι δ' ὅτε καὶ [οὐ·] οὐκ ἐτμήθη, ἀλλ' ἅμα ἱδρῶτι [6] διῆλθεν, ἢ αὐτόματον· ἐξ οὗ, [7] διιόντων, ὁ σπλὴν, τὰ δεξιὰ ἐνετείνετο, πνεῦμα ἐνεδιπλασιάζετο, οὐ μὴν μέγα· παρεφέρετο, [8] περιεστέλλετο· φῦσα ἐνεοῦσα· οὐ διήει κάτω οὐδὲν, [9] οὐδὲ οὔρει· ἀπέθανε πρὸ τοῦ τόκου.

23. Τὰ ἀμφὶ φάρυγγα, ἑτερόῤῥοπα, ὁρμήσαντα, οὐχ ἑφηλκώθη, ἐπὶ τὰ ἀριστερὰ μετῆλθεν, [10] ἐς σπλῆνα ὀδύνη ἦλθεν ἀκρίτως. Ἱέρωνι ἐκρίθη πεντεκαιδεκαταίῳ. Τῇ [11] Κῴου ἀδελφεῇ ἧπαρ ἐπήρθη σπληνικὸν τρόπον, ἀπέθανε [12] δευτεραίη. Βίων ἅμα οὔρει τε ὑπέρπουλυ ἀνυπόστατον, καὶ αἷμα ἐξ ἀριστεροῦ· ἦν γὰρ καὶ [13] ὁ σπλὴν κυρτὸς καὶ σκληρὸς, καὶ ἄνω· [14] περιεγένετο· ὑποστροφή.

24. Ἦν δὲ τῶν κυναγχικῶν τὰ παθήματα [15] τάδε· τοῦ τραχήλου οἱ σπόνδυλοι ἔσω ἔῤῥεπον, τοῖσι μὲν ἐπὶ πλέον, τοῖσι [16] δ' ἐπ'

[1] Ἐλεβ. C. – λυκινίη DQ'. – λυκίνη Gal. De dyspnœa, III, ed. Bas. p. 194. — [2] ὀδῦναι (bis) HIJ. — [3] ὀδῦναι FG, Ald. — [4] ἔσφυξε Gal. – « L'auteur, dit Galien, emploie le mot ἔσφυξε, les battements étant un signe de l'inflammation et de la tuméfaction, pour lesquelles les anciens se sont servis du mot σφυγμός. » Ce commentaire montre que ἔσφυξε doit s'entendre non des pulsations du pouls, mais des battements qui se manifestent dans les parties gonflées. C'est ici le mot πολλάκις qui détermine cette acception. — [5] ἔστι δ' ὅτε est, dans vulg., rapporté à καὶ οὐκ ἐτμήθη; mais cela ne fait pas de sens. Les traducteurs latins le rendent par *interdum vero neque secta est (vena)*. Or, que signifie que *parfois on n'ouvrit pas la veine?* D'autre part, le commentaire de Galien prouve que, d'après le texte, la saignée n'avait pas été pratiquée. « Naturellement, est-il dit dans ce commentaire, la veine du pli du bras, laquelle se porte à la rate, devint tendue, effet dû au sang épais, bourbeux, bouillant, qu'elle contenait. Le remède le plus efficace de cette affection, surtout à cause de l'inflammation de la rate, est la saignée; *mais on ne la pratiqua pas.* » Pour donner un sens à la phrase et pour retrouver les particularités signalées par Galien, ce qu'il y a de plus simple à faire, c'est d'ajouter οὐ devant οὐκ. J'ai mis cet οὐ entre crochets. — [6] « Ce qui prouve, dit Galien, que l'auteur a voulu signaler aussi le gonflement présenté par la veine, c'est ce qu'il ajoute : ἀλλ' ἅμα ἱδρῶτι διῆλθεν, ἢ αὐτόματον; indiquant par là que le gonflement disparut soit par les sueurs soit autrement. » Ce commentaire explique suffisamment ce membre de phrase. — [7] διιόντων C. – δὲ ἰόντων vulg. – ἐνετείνατο D. – ἐνετέτατο Gal. – ἀνεδιπλασιάζετο Gal. – ἐδιπλασιάζετο Gal. in cit. De dyspnœa, III, 9. — [8] πε-

22. (*Cas d'infection purulente? Ép.* VI, 6, 15.) Lycie fut traitée par une potion d'hellébore ; à la fin, gonflement de la rate, douleurs, fièvre, douleurs gagnant l'épaule ; la veine du côté de la rate devint tendue au pli du bras ; elle présenta souvent des battements, mais parfois elle n'en présentait pas ; on ne fit pas de saignée ; cela se dissipa par la sueur ou spontanément. Après quoi, la rate, le côté droit se tendirent ; la respiration s'entrecoupa sans devenir grande. La malade délirait, se couvrait sans cesse ; météorisme ; point de selle ; point d'urine. Mort avant l'accouchement.

23. (*Cas de crise et d'absence de crise ; remarquez aussi l'affection du cou à gauche et la douleur de la rate, l'épistaxis à gauche et la grosseur de la rate ; direction tant signalée par les hippocratiques.*) Les gonflements pharyngiens, se jetant d'un seul côté, ne s'ulcérèrent pas, ils passèrent à gauche ; une douleur survint à la rate, sans crise. Hiéron eut une crise le quinzième jour. Chez la sœur de l'homme de Cos le foie se gonfla à la manière de la rate ; elle mourut le deuxième jour. Bion, à la fois, rendit et une excessive quantité d'urine qui ne déposa pas, et du sang par la narine gauche ; il avait en effet la rate gonflée et dure même en haut ; guérison ; récidive.

24. (*Luxation spontanée des vertèbres cervicales.*) Les accidents éprouvés dans l'angine furent les suivants : (1[re] *catégorie : déplacement en avant.*) Les vertèbres du cou faisaient saillie en avant, chez les uns plus, chez les autres moins. En

